Cic. ad Att. VII, 7, 4 —. [D.] XII, 15. XXXII, 16 zweimal. Xen. Anab. II, 4, 19. Plut. Kleom. 31; *τί οὐ* Lyk. 34 zweimal. D. XIX, 42 — hier *τί οὐ* und *τίς*; dieses auch Plat. Apol. 27[d]; dazu *τί* als Subjekt und *τίς* Hyp. Epit. XII, sowie *τί* als Subjekt oder Objekt Hyp. f. Eux. XXVIII. [D.] XII, 13. Plat. Apol. 40[e]). D. XVI, 23: *ἡδέως δ' ἂν πυθοίμην τῶν λεγόντων καὶ τοὺς Θηβαίους μισεῖν φασκόντων καὶ τοὺς Λακεδαιμονίους, πότερ' ἑκάτεροι μισοῦσιν, οὓς δὴ μισοῦσιν, ὑπὲρ ὑμῶν καὶ τοῦ συμφέροντος ὑμῖν, ἢ ὑπὲρ Λακεδαιμονίων μὲν Θηβαίους, ὑπὲρ δὲ Θηβαίων Λακεδαιμονίους ἑκάτεροι. εἰ μὲν γὰρ ὑπὲρ ἐκείνων, οὐδετέροις ὡς μαινομένοις πείθεσθαι προσήκει· εἰ δ' ὑπὲρ ὑμῶν φήσουσι, τί πέρα τοῦ καιροῦ τοὺς ἑτέρους ἐπαίρουσιν; ἔστι γὰρ κτλ.* (Der Satz mit *εἰ μέν* bezieht sich auf das zweite Glied des vorangehenden Fragsatzes, der mit *εἰ δέ* auf das erste; derselbe Chiasmus [D.] XXVI, 14. LVIII, 46. Is. VIII, 37 f. Dein. I, 50. — Wie hier ist dem zweiten Gliede des Dilemma eine Begründung beigefügt D. XX, 145. XXI, 206 f. XXIV, 188 f. [D.] XXIX, 47. LVIII, 12. Lys. XIII, 75. Hyp. f. Eux. XXX. Is. III, 26, wo Benseler nach dem *γαν* des Urbinas *οὔ γ' ἄν* schreibt. Aristeid. I, 287 Df. 653 Df., wo die Begründung wieder die Form eines Dilemma erhält. Dem ersten Gliede folgt ein Satz mit *γάρ* D. XIX, 238. XXI, 134. XXII, 62. [D.] LVI, 32. Isae. XI, 24. Xen. Anab. II, 4, 19. V, 8, 18, beiden Gliedern zugleich D. XIX, 341 f. XXVII, 55. [D.] XII, 21 — hier im ersten Gliede Gen. abs. —. Ant. IV, *β*, 6. Is. IV, 21 ff. XIV, 10. XV, 95 f. Isae. X, 9 f. Aesch. III, 236 f. Plat. Apol. 40[c]. Dion. Hal. de Thuc. jud. 14, 5. — Mit den Worten *οὐδετέροις ὡς μαινομένοις πείθεσθαι προσήκει* kann man vergleichen D. XXIV, 122: *ἀνάγκη μαίνεσθαί σε ὁμολογεῖν.* Lyk. 63: *μανία δήπου τοῦτο λέγειν κτλ.*). Is. VIII, 37: *ἡ δ έ ω ς ἂν οὖν α ὐ τ ῶ ν π υ θ ο ί μ η ν, τίσιν ἡμᾶς τῶν προγεγενημένων κελεύουσιν ὁμοίους γίγνεσθαι, πότερα τοῖς περὶ τὰ Περσικὰ γενομένοις ἢ τοῖς πρὸ τοῦ πολέμου τοῦ Δεκελεικοῦ τὴν πόλιν διοικήσασιν. εἰ μὲν γὰρ τούτοις, οὐδὲν ἀλλ' ἢ συμβουλεύουσιν ἡμῖν πάλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύειν· εἰ δὲ τοῖς Μαραθῶνι τοὺς βαρβάρους νικήσασι καὶ τοῖς πρὸ τούτων γενομένοις, πῶς οὐ πάντων ἀναισχυντότατοι τυγχάνουσιν ὄντες, εἰ κτλ.* (Frage mit *πῶς οὐ* auch Is. XIV, 10. Isae. II, 27 — zweimal —. Hyp. f. Eux. XXX. D. XVIII, 217 — ebenfalls in beiden Gliedern —. XXII, 62. XXVII, 21 f. — *πῶς οὐ* und *πῶς* —. [D.] XII, 21. LVIII, 46 — *πῶς* und *πῶς οὐ* —; *πῶς* aufser den beiden schon genannten Stellen noch Lys. XXV, 14. Gorg. Hel. 19. Aristeid. I, 653 Df.). Aesch. III, 236 f.: *ἡ δ έ ω ς δ' ἂν ἔ γ ω γ ε ἐ ν α ν τ ί ο ν ὑ μ ῶ ν ἀ ν α λ ο γ ι σ α ί μ η ν πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανῶσαι. εἰ μὲν γὰρ λέξεις, ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου. τοῦ γὰρ —. εἰ δ' ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν ὡς ἔστιν ἀνὴρ*

ἀγαθὸς —, *ἀφελὼν τὴν ἀλαζονείαν* — *ἅψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ τι λέγεις* (*λέξεις* mit ehkl Schultz und Weidner in den beiden ersten Ausgaben, *λέγεις* mit den übrigen Hdschr. die Züricher, Franke, Benseler. In der Ausg. 1878 schliefst Weidner *λέξεις* in Klammern ein und ergänzt *ἀξιοῖς στεφ.* In der Protasis des Dilemma stehen *εἰ* und *εἴτε* sehr häufig auch von dem, was erst erwartet wird, also c. ind. fut. So D. XXIII, 43: *εἰ μὲν ἐάσομεν* — *εἰ δ' ἐπέξιμεν.* § 123: *εἰ μὲν ψηφιούμεθα.* I, 17: *εἴτε παραστήσεται* — *εἴτε προσκαθεδεῖται καὶ προσεδρεύσει.* XIX, 341 f.: *εἴτε ἥξει* — *εἴτε μενεῖ.* XX, 113: *εἰ μὲν φήσει* — *εἰ δὲ φήσει* — *καὶ μὴν εἴ γε δείξει.* [D.] LVIII, 46: *εἰ μὲν φήσει.* Is. XIX, 32: *εἰ μὲν ὁμολογήσει.* Isae. X, 9: *εἴτε φήσει.* D. XXIV, 122. 189: *εἰ μὲν* (*δὲ*) *φήσεις.* Aristeid. I, 286 Df. D. XVI, 23. XX, 24: *εἰ μὲν* (*δὲ*) *φήσουσιν.* Für *ἐάν* und *ἐάν τε* kann ich nur anführen Xen. Anab. II, 4, 19: *ἐὰν μὲν νικῶσιν* — *ἐὰν δ' ἡμεῖς νικῶμεν.* Is. VIII, 138: *ἤν τε δόξῃ* — *ἤν τ' ἐπιχειρῶσιν.* XV, 95: *ἤν τε ὑπολάβητε* — *ἤν τε* zweimal c. ind. praes. in der Apodosis Is. XIV, 46 —. D. XVIII, 4. XXII, 40 f.: *κἂν μὲν φῇ* zweimal. Lys. XIII, 76: *ἐὰν μὲν φάσκῃ* — *ἐὰν δ' οὐ φάσκῃ.* D. XXVII, 20 ff. steht zuerst *ἐὰν μὲν φῇ*, sodann *εἰ δ' αὖ φήσει* und *εἰ δ' αὖ τούτων μὲν μηδὲν ἐρεῖ, Μιλύαν δὲ φήσει* c. inf. Bisweilen findet sich nach *εἰ* auch der Potentialis, wie [D.] prooem. 32: *εἰ δὲ ταῦτα μὲν μηδ' ἂν φήσαιεν ἀγνοεῖν, πρόφασις δ' ἄλλη τις ὕπεστιν.* Aristeid. I, 286: *εἰ δ' οὐκ ἂν φύγοιεν τὴν αἵρεσιν.* Optat. und Indic. des Präs. entsprechen einander [D.] XII, 21: *εἴτε τούτων μὲν ἀμφισβητήσειέ τις, ἀξιοῖ δέ* —, *ὑπάρχει.* Über die Verba des Sagens ist noch zu bemerken, dafs dieselben nach *εἰ* auch im Indik. des Präsens vorkommen. Vgl. Dein. I, 50 f.: *εἰ μὲν φῄς* — *εἰ δὲ φῄς.* [D.] XII, 13: *εἰ μέν φατε.* Lyk. 34: *εἰ μὲν ὁμολογεῖ* — *εἰ δὲ μή φησιν.* Lys. XIII, 75: *εἰ μὲν προσποιεῖται* — *εἰ δ' ἀμφισβητεῖς καὶ φῄς.* D. XXIV, 188 f.: *εἰ μὲν ὁμολογεῖς* — *εἰ δὲ φήσεις.* XX, 145: *εἰ μὲν λέγεις.* Lyk. 63: *εἰ μὲν ὁμολογοῦσιν.* An der Stelle, die zu dieser Erörterung Veranlassung gegeben hat, halte ich die von Weidner angenommene Ellipse deshalb für bedenklich, weil im Vorhergehenden nicht *ἀξιοῖς*, sondern *ἀξιοῖ* steht. *λέγειν* findet sich im Dilemma auch D. XX, 145 — vgl. *ἐρεῖ* D. XXVII, 22 —, während sonst in demselben *φάναι* — *φάσκειν* — gebraucht wird. Das Präs. *λέγεις*, das W. in der ersten Ausgabe für ganz unzulässig erklärt, läfst sich doch vielleicht durch D. XXIV, 188 f. rechtfertigen). Gorg. Palam. 26: *βουλοίμην δ' ἂν παρὰ σοῦ πυθέσθαι, πότερον τοὺς σοφοὺς ἄνδρας νομίζεις ἀνοήτους ἢ φρονίμους. εἰ μὲν γὰρ ἀνοήτους, καινὸς ὁ λόγος, ἀλλ' οὐκ ἀληθής. εἰ δὲ φρονίμους, οὐ δήπου προσήκει τούς γε φρονοῦντας ἐξαμαρτάνειν τὰς μεγίστας ἁμαρτίας καὶ μᾶλλον αἱρεῖσθαι κακὰ πρότερον τῶν ἀγαθῶν. εἰ μὲν οὖν εἰμὶ σοφός, οὐχ ἥμαρτον· εἰ δ' ἥμαρτον, οὐ σοφός εἰμι. ὥστε δι' ἀμφότερα ἂν εἴης ψευδής* (das zweite Beispiel gehört zur *διάλληλος δεῖξις*, worüber im Anh.

zu XII, 57 gehandelt ist. Wegen des *δήπου* im ersten Dilemma vgl. D. XX, 24. 113. XXI, 206: *τότ' ἔδει τόν γε φίλον δήπου συνειπεῖν* — beachte das *γέ*, das in gleicher Weise auch Gorg. a. a. O. gebraucht ist —. XXII, 41. XXVII, 55 = XXIX, 47 — de arg. ex contr. 209 —. Isae. I, 21. Lyk. 63, wo doch wohl *οὐ* vor *μανία* zu streichen ist. Is. XIX, 32 fehlt die Partikel in *ΓE* und wird deshalb von den meisten Herausgebern entweder ausgelassen oder eingeklammert; ich halte sie mit Blass für echt. Das dem *δήπου* verwandte *ὡς ἔοικεν* findet sich in der Apodosis D. XXIII, 123. [D.] prooem. 32. Aristeid. I, 287 Df., an der letzten Stelle zweimal. Anderer Art ist *δῆλον ὅτι*, womit die Apodosis beginnt Lys. XIII, 75. Is. III, 26. D. XXI, 134. XXVII, 55 = XXIX, 47; vgl. *ἀναμφισβητήτως* Is. IV, 21. Das asseverierende *τοί* braucht Platon Staat II, 365[d]). D. XXII, 40 f.: *ἐγὼ δ' οἴομαι δεῖν ὑμᾶς ὡδί πως ἀκούειν Ἀρχίου, ἐρωτᾶν αὐτὸν ταῦθ' ἃ κατηγόρηται τῆς βουλῆς, πότερ' αὐτῷ δοκεῖ καλῶς ἔχειν ἢ κακῶς. κἂν μὲν φῇ καλῶς, μηκέτι τὸν νοῦν ὡς ἐπιεικεῖ προσέχειν, ἂν δὲ κακῶς, τί δὴ ταῦτ' εἴα φάσκων ἐπιεικὴς εἶναι, πάλιν αὐτὸν ἐρωτᾶτε. κἂν μὲν ἐναντία λέγειν φῇ, μηδένα δ' αὐτῷ πείθεσθαι, ἄτοπον δήπου νῦν λέγειν ὑπὲρ τῆς τὰ βέλτιστ' οὐχὶ πειθομένης ἑαυτῷ βουλῆς· ἐὰν δὲ σιωπᾶν, πῶς οὐκ ἀδικεῖ* mit arg. ex contr. Zu den Worten *μηκέτι — προσέχειν* vgl. D. IX, 20: (*ἵνα*) *μήτε νῦν μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε.* Das zweite Glied des ersten Dilemma wird durch ein zweites Dilemma vervollständigt und weiter ausgeführt. Dagegen enthält das zweite Dilemma eine durch *οὖν* aus dem ersten hergeleitete Folgerung Lys. XIII, 76. Gorg. Palam. 26; an beiden Stellen ist zugleich die Reihenfolge der Glieder umgekehrt. Noch in anderer Weise sind mehrere Dilemmata an einander gereiht Aristeid. I, 286 f. 652 f. Df. Die zweite schon oben berührte Einführungsform finden wir Is. XIV, 10: *θαυμάζω δέ, πρὸς τί τῶν γεγενημένων ἀναφέροντες καὶ πῶς ποτε τὸ δίκαιον κρίνοντες ταῦτα φήσουσι προστάττειν ἡμῖν· εἰ μὲν γὰρ τὰ πάτρια σκοποῦσιν, οὐ τῶν ἄλλων αὐτοῖς ἀρκτέον ἀλλὰ πολὺ μᾶλλον Ὀρχομενίοις φόρον οἰστέον· οὕτω γὰρ εἶχε τὸ παλαιόν· εἰ δὲ τὰς συνθήκας ἀξιοῦσιν εἶναι κυρίας, ὅπερ ἐστὶ δίκαιον, πῶς οὐχ ὁμολογήσουσιν ἀδικεῖν καὶ παραβαίνειν αὐτάς; ὁμοίως γὰρ τάς τε μικρὰς τῶν πόλεων καὶ τὰς μεγάλας αὐτονόμους εἶναι κελεύουσιν* (zum Inhalt vgl. [D.] XII, 21. Is. IV, 21 f. Mit dem Zusatz *ὅπερ ἐστὶ δίκαιον* kann man zusammenhalten D. XXIV, 122: *ὥσπερ ἔστιν.* Thuk. VI, 40, 2: *ὥσπερ οὐκ οἴομαι.* Isae. I, 21: *ὥσπερ ἡμεῖς φαμεν.* XI, 24: *ὡς οὗτος λέγει.* Hyp. Epit. a. E.: *ὥσπερ ὑπολαμβάνομεν εἶναι*, wonach wohl auch Lys. XIII, 75, wie schon in der Anm. angedeutet wurde, *ὡς ἐγώ φημι, ἀδικεῖ* zu schreiben ist. Einen Zusatz anderer Art lesen wir [D.] LVIII, 12: *ἔστω γὰρ τοῦθ' ὁπότερον οὗτος βούλεται*; vgl. Is. XV, 94. VIII, 137. Herod. I, 11. Cic. in Caecil. 14, 45 und p. Var. bei Quint. V, 10, 69). Aristeid. I, 286 Df.: *θαυμάζω*

τοίνυν κτλ. (D.) prooem. 32: *καὶ δῆτα θαυμάζω κτλ.* (beide Male beginnt die complexio mit *εἰ μὲν γάρ*). Mit den genannten Beispielen hängen jene aufs engste zusammen, wo dem Dilemma eine Alternative mit *ἤ* (*ἤτοι*) — *ἤ* vorausgeschickt wird, deren Glieder dann im Dilemma selbst als Vordersätze der hypothetischen Doppelperiode wiederkehren. So Dein. I, 50 ff.: *ἀνάγκη τὴν βουλὴν τὴν ἐξ Ἀρείου πάγου κατὰ δύο τρόπους ποιεῖσθαι τὰς ἀποφάσεις πάσας. τίνας τούτας; ἤτοι αὐτὴν προελομένην, ἢ ζητήσασαν τοῦ δήμου προστάξαντος αὐτῇ. χωρὶς τούτων οὐκ ἔστιν ὅντινα τρόπον ποιήσαιτ᾽ ἄν. εἰ μὲν τοίνυν φῂς τοῦ δήμου προστάξαντος τὴν βουλὴν περὶ ἐμοῦ ποιήσασθαι τὴν ἀπόφασιν, δεῖξον τὸ ψήφισμα καὶ τίνες ἐγένοντό μου κατήγοροι γενομένης τῆς ἀποφάσεως —. κἂν ᾖ ταῦτα ἀληθῆ, ἀποθνήσκειν ἕτοιμός εἰμι. εἰ δ᾽ αὐτὴν προελομένην ἀποφῆναί με φῄς, παράσχου μάρτυρας κτλ.* (*ἤτοι* — *ἤ* wie And. II, 2. Gell. V, 11, 2. [D.] LVIII, 7; dafür *ἤτοι* — *γε* — *ἤ* Plat. Apol. 27ᵈ. Phaed. 76ᵃ. Prot. 331ᵇ. Gorg. 460ᵃ. Vgl. Krüger und Classen zu Thuk. II, 40, 2. Krüger zu Herod. I, 11. Übrigens wird an dieser Stelle auch das *ἄμεσον* ausdrücklich hervorgehoben mit den Worten *χωρὶς τούτων οὐκ ἔστιν κτλ.* Vgl. D. XIX, 102: *οὐκ ἔνεστι τούτων οὐδ᾽ ἓν χωρίς.* Aesch. III, 91: *οὐδὲν γὰρ ἦν τὸ μέσον.* Cic. Phil. II, 13, 31: nego quicquam esse medium mit Eberhards Anm. Müller und Weifsenborn zu Liv. II, 49, 5). Plat. Apol. 27ᵈ: *εἰ δὲ δαιμόνια νομίζω, καὶ δαίμονας δήπου πολλὴ ἀνάγκη νομίζειν μέ ἐστιν. τοὺς δὲ δαίμονας οὐχὶ ἤτοι θεούς γε ἡγούμεθα ἢ θεῶν παῖδας; — οὐκοῦν εἴπερ δαίμονας ἡγοῦμαι, ὡς σὺ φῄς, εἰ μὲν θεοί τινές εἰσιν οἱ δαίμονες, τοῦτ᾽ ἂν εἴη ὃ ἐγώ φημί σε αἰνίττεσθαι καὶ χαριεντίζεσθαι, θεοὺς οὐχ ἡγούμενον φάναι ἐμὲ θεοὺς αὖ ἡγεῖσθαι πάλιν, ἐπειδήπερ γε δαίμονας ἡγοῦμαι· εἰ δ᾽ αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσι νόθοι τινὲς —, τίς ἂν ἀνθρώπων θεῶν μὲν παῖδας ἡγοῖτο εἶναι, θεοὺς δὲ μή;* (wegen *εἰ δ᾽ αὖ* vgl. Charm. 158ᵈ. D. XXVII, 21 f.; mit *εἰ δὲ δή* beginnt das zweite Glied D. XIX, 238, mit *καὶ μὴν εἴ γε* D. XX, 113). Gell. V, 11, 2: *ἤτοι καλὴν ἄξεις ἢ αἰσχράν· καὶ εἰ καλήν, ἕξεις κοινήν, εἰ δὲ αἰσχράν, ἕξεις ποινήν. ἑκάτερον δὲ οὐ ληπτέον. οὐ γαμητέον ἄρα* (die Ellipse wie in den S. 427 besprochenen Beispielen). Xen. Anab. II, 4, 19: *νεανίσκος δέ τις — εἶπεν ὡς οὐκ ἀκόλουθα εἴη τό τε ἐπιθήσεσθαι καὶ λύσειν τὴν γέφυραν. δῆλον γὰρ ὅτι ἐπιτιθεμένους ἢ νικᾶν δεήσει ἢ ἡττᾶσθαι. ἐὰν μὲν οὖν νικῶσι, τί δεῖ λύειν αὐτοὺς τὴν γέφυραν; οὐδὲ γὰρ ἂν πολλαὶ γέφυραι ὦσιν ἔχοιμεν ἂν ὅποι φυγόντες ἡμεῖς σωθῶμεν. ἐὰν δὲ ἡμεῖς νικῶμεν, λελυμένης τῆς γεφύρας οὐχ ἕξουσιν ἐκεῖνοι ὅποι φύγωσιν.* Plat. Apol. c. 32: *ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς ἐστιν ἀγαθὸν αὐτὸ εἶναι. δυοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι —, ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις — εἰς ἄλλον τόπον. καὶ εἴτε μηδεμία αἴσθησίς ἐστιν —, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. — εἰ δ᾽ αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον —,*

τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν; (dem Inhalte nach ist verwandt Hyp. Epit. a. E.: *πρὸς δὲ τούτοις, εἰ μέν ἐστι τὸ ἀποθανεῖν ὅμοιον τῷ μὴ γενέσθαι, ἀπηλλαγμένοι εἰσὶ νόσων καὶ λύπης —· εἰ δ' ἔστιν αἴσθησις ἐν ᾅδου καὶ ἐπιμέλεια παρὰ τοῦ δαιμονίου, ὥσπερ ὑπολαμβάνομεν εἶναι, εἰκὸς τοὺς ταῖς τιμαῖς τῶν θεῶν καταλυομέναις βοηθήσαντας πλείστης κηδεμονίας ὑπὸ τοῦ δαιμονίου τυγχάνειν.* Die Anakoluthie in *εἴτε — εἰ δ' αὖ* wird nachgeahmt von Cicero Tusc. I, 41: sive — sin; vgl. auch Ac. post. I, 3, 7: sive enim Zenonem sequare, magnum est efficere, ut quis intelligat, quid sit illud verum et simplex bonum, quod non possit ab honestate sejungi. — Si vero Academiam veterem persequamur —, quam erit illa acute explicanda nobis!). Diesen Stellen füge ich aus Cicero bei de off. III, 5, 26: qui alterum violat, ut ipse aliquid commodi consequatur, a u t nihil existimat se facere contra naturam a u t magis fugienda censet mortem, paupertatem, dolorem — quam facere cuiquam injuriam. Si nihil existimat contra naturam fieri hominibus violandis, quid cum eo disseras, qui omnino hominem ex homine tollat? (arg. ex contr.) Sin fugiendum id quidem censet, sed multo illa pejora, mortem, paupertatem, dolorem, errat in eo, quod ullum aut corporis aut fortunae vitium vitiis animi gravius existimat. Während in den angeführten Beispielen die Protasis des Dilemma anticipiert wird, findet dieselbe Anticipation betreffs der Apodosis statt And. II, 2: *δεῖ γὰρ αὐτοὺς ἤ τ ο ι ἀμαθεστάτους εἶναι πάντων ἀνθρώπων ἢ τῇ πόλει ταύτῃ δυσμενεστάτους. εἰ μέν γε νομίζουσι τῆς πόλεως εὖ πραττούσης καὶ τὰ ἴδια σφῶν αὐτῶν ἄμεινον ἂν φέρεσθαι, ἀμαθέστατοί εἰσι τὰ ἐναντία νῦν τῇ ἑαυτῶν ὠφελείᾳ σπεύδοντες· εἰ δὲ μὴ ταὐτὰ ἡγοῦνται σφίσι τε αὐτοῖς συμφέρειν καὶ τῷ ὑμετέρῳ κοινῷ, δυσμενεῖς ἂν τῇ πόλει εἶεν* (der Potentialis in der Apodosis auch Lys. XXV, 14 nach *εἰ* c. praeter. Is. XV, 95 nach *ἤν τε.* XIX, 32 zweimal, nach *εἰ* c. fut. und nach *εἰ* c. praeter. Isae. I, 21 nach *εἰ* c. praet. Hyp. Epit. XII f. zweimal nach *εἰ* c. praes. D. XIX, 238 zweimal nach *εἰ* c. praet. XX, 113 nach *εἰ* c. fut. XXII, 62 nach *εἴτε* c. praet. [D.] XXVI, 14 nach *εἰ* c. praet. Gorg. Hel. 19 nach *εἰ* c. praes. Plat. Apol. c. 15 und 32 zweimal nach *εἰ* (*εἴτε*) c. praes.; vgl. Aristeid. I, 653 Df. Das Präteritum mit *ἄν* steht in der Apodosis Ant. II, *γ*, 2. [Lys.] IX, 12. Isae. XI, 25. D. XXVII, 55 = [D.] XXIX, 47. [D.] XXXII, 16. Aristeid. I, 652 Df. und ist teils als Irrealis teils als Potentialis der Vergangenheit zu fassen. Aken, Tempus und Modus § 206). Thuk. III, 42, 2: *τούς τε λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν ἢ ἰδίᾳ τι αὐτῷ διαφέρει· ἀξύνετος μέν, εἰ — ἡγεῖται —, διαφέρει δ' αὐτῷ, εἰ — ἡγεῖται.* Aristeid. I, 653: *σκαιοὺς τοίνυν καὶ ἀναιδεῖς ἐγὼ μὲν οὐκ ἂν αὐτοὺς προσείποιμι, προσειπὼν δέ τις οὐκ ἂν ἁμάρτοι θατέρου, σκαιοὺς μέν, εἰ —, ἀναιδεῖς δέ, εἰ* (vgl. Thuk. VI, 40, 1: *ὦ πάντων ἀξυνετώτατοι, εἰ μὴ μανθάνετε κακὰ σπεύδοντες,* [*ἢ ἀμαθέστατοί*

ἐστε] *ὧν ἐγὼ οἶδα Ἑλλήνων, ἢ ἀδικώτατοι, εἰ εἰδότες τολμᾶτε.* Die Worte *ἢ ἀμ. ἐστε* halte ich mit Dobree und anderen für ein Glossem). Sehr häufig ist auch der Fall, dafs das Resultat des Schlusses durch eine allgemeine Wendung im voraus angedeutet wird. Besondere Beachtung verdienen zwei isokrateische Beispiele, die hier zu erwähnen sind: VIII, 137 f.: *οὐ μὴν ἀλλ' ὁπότερον ἂν ποιήσωσιν, τό γ' ἡμέτερον καλῶς ἕξει καὶ συμφερόντως. ἤν τε γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις ἀπέχεσθαι τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγαθῶν τὴν αἰτίαν ἕξομεν· ἤν τ' ἐπιχειρῶσιν ἀδικεῖν, ἐφ' ἡμᾶς ἅπαντες οἱ δεδιότες καὶ κακῶς πάσχοντες καταφεύξονται* (die mit *εἴτε* — *εἴτε* und *ἐάν τε* — *ἐάν τε* gebildeten Dilemmata sind, da sie nicht dieselbe schlagende Kraft haben wie die mit *εἰ μέν* — *εἰ δέ* und *ἐὰν μέν* — *ἐὰν δέ*, nicht eben häufig. Ich habe mir noch notiert Ant. II, *γ*, 2. Is. XIV, 46. XV, 95. Isae. I, 37. X, 9. D. I, 18. XIX, 341. XXII, 62. [D.] XII, 21. Plat. Apol. c. 32. Wegen des latein. sive — sive verweise ich auf Seyffert a. a. O. S. 139 und Madvig, Gr. § 458). XV, 94 ff.: *πρὸς οὓς ὅπως βούλεσθε θέτε με διακεῖσθαι· πρὸς γὰρ τὸ παρὸν πανταχῶς ἕξει μοι καλῶς. ἤν τε γὰρ ὑπολάβητε σύμβουλον εἶναί με καὶ διδάσκαλον τούτων, δικαίως ἂν ἔχοιτέ μοι πλείω χάριν ἢ τοῖς δι' ἀρετὴν ἐν πρυτανείῳ σιτουμένοις. — εἴ τε τῶν μὲν πεπραγμένων ἐκείνοις μηδὲν συναίτιος ἐγενόμην, ὡς ἑταίροις δὲ καὶ φίλοις αὐτοῖς ἐχρώμην, ἱκανὴν ὑπὲρ ὧν φεύγω τὴν γραφὴν ἡγοῦμαι καὶ ταύτην εἶναι τὴν ἀπολογίαν* (zum Wechsel des subjektiven und objektiven Ausdrucks: *ἤν τε ὑπολάβητε* — *εἴτε ἐγενόμην* vgl. XIX, 32: *εἰ μὲν ὁμολογήσει* — *εἰ δὲ ἐγένετο.* Lyk. 63: *εἰ μὲν ὁμολογοῦσιν* — *εἰ δὲ πεποίηκεν.* [D.] XII, 13: *εἰ μέν φατε* — *εἰ δὲ κατεκράτει* [Ennius 108 Vahlen: si existimas — sin est]. § 21: *εἴτε γίγνεται* — *εἴτε τούτων μὲν ἀμφισβητήσειέ τις, ἀξιοῖ δέ.* D. XX, 24: *εἰ μέν τις ἔχει* — *εἰ δὲ φήσουσιν.* Is. IV, 21 f.: *εἰ δεῖ* — *εἴ τινες* — *μὴ νομίζουσι* — *ἀξιοῦσι δέ.* [D.] prooem. 32: *εἰ μὲν ἀγνοοῦσιν* — *εἰ δὲ ταῦτα μὲν μηδ' ἂν φήσαιεν ἀγνοεῖν*). Anderen bemerkenswerten Phrasen begegnen wir Is. XI, 43: (*καὶ σὺ μὲν οἴει καὶ τοὺς μηδὲν προσήκοντας, ἤν σοι πλησιάσωσι, βελτίους ποιήσειν, τοὺς δὲ θεοὺς οὐδεμίαν ἡγεῖ τῆς τῶν παίδων ἀρετῆς ἔχειν ἐπιμέλειαν.*) *καίτοι κατὰ τὸν σὸν λόγον δυοῖν τοῖν αἰσχίστων οὐ διαμαρτάνουσιν· εἰ μὲν γὰρ μηδὲν δέονται χρηστοὺς αὐτοὺς εἶναι, χείρους εἰσὶ τῶν ἀνθρώπων τὴν διάνοιαν, εἰ δὲ βούλονται μέν, ἀποροῦσι δ' ὅπως ποιήσωσιν, ἐλάττω τῶν σοφιστῶν τὴν δύναμιν ἔχουσιν.* And. I, 20: *καίτοι τί ἐβουλόμην, εἰ ἐμήνυσα μὲν κατὰ τοῦ πατρὸς — καὶ ὁ πατὴρ ἐπείσθη ἀγῶνα τοιοῦτον ἀγωνίσασθαι, ἐν ᾧ δυοῖν τοῖν μεγίστοιν κακοῖν οὐκ ἦν αὐτῷ ἁμαρτεῖν; ἢ γὰρ ἐμοῦ δόξαντος τὰ ὄντα μηνῦσαι κατ' ἐκείνου ὑπ' ἐμοῦ ἀποθανεῖν, ἢ αὐτῷ σωθέντι ἐμὲ ἀποκτεῖναι* (Schiller zu Sluiter S. 70. Den Bedingungssatz vertritt zweimal das Partic., *δόξαντος* und *σωθέντι.* Dafs die Antithese nicht eben scharf ist, zeigen die folgenden Gesetzesworte;

man erwartete: ἢ δόξαντός μου τὰ ὄντα μ. — ἢ μὴ δόξαντος αὐτῷ oder: ἢ τὰ ὄντα μου δόξαντος μ. — ἢ τὰ ψευδῆ αὐτῷ). And. II, 7: (οὐ φθόνου μᾶλλον ἢ οἴκτου ἄξιά μοί ἐστι τὰ γεγενημένα·) ὃς εἰς τοσοῦτον ἦλθον δυσδαιμονίας —, ὥστ' ἀνάγκην μοι γενέσθαι δυοῖν κακοῖν τοῖν μεγίστοιν θάτερον ἑλέσθαι, ἢ μὴ βουληθέντι κατειπεῖν τοὺς ταῦτα ποιήσαντας οὐ περὶ ἐμοῦ μόνου ὀρρωδεῖν, ἀλλὰ καὶ τὸν πατέρα οὐδὲν ἀδικοῦντα σὺν ἐμαυτῷ ἀποκτεῖναι —, ἢ κατειπόντι τὰ γεγενημένα αὐτὸν μὲν ἀφεθέντα μὴ τεθνάναι, τοῦ δὲ ἐμαυτοῦ πατρὸς μὴ φονέα γενέσθαι. τί δ' ἂν οὐ πρό γε τούτου τολμήσειεν ἄνθρωπος ποιῆσαι; ἐγὼ τοίνυν ἐκ τῶν παρόντων εἱλόμην ταῦτα, ἃ ἐμοὶ μὲν λύπας ἐπὶ χρόνον πλεῖστον οἴσειν ἔμελλεν, ὑμῖν δὲ ταχίστην τοῦ παρόντος τότε κακοῦ μετάστασιν (die Prämissen sind enthalten in μὴ βουληθέντι κτλ. und κατειπόντα τὰ γεγ. Das zweite κακόν ergiebt sich aus den Worten ἃ ἐμοὶ μὲν λύπας — ἔμελλεν; eigentlich mufste ein Gedanke der Art in das Dilemma selbst aufgenommen werden). D. XIX, 151 f.: χωρὶς δὲ τούτων δυοῖν χρησίμοιν οὐ διαμαρτήσεσθαι τὴν πόλιν ἡγούμην πλευσάντων ἡμῶν· ἢ γὰρ παρόντων καὶ κατὰ τὸ ψήφισμ' αὐτὸν ἐξορκωσάντων ἃ μὲν εἰλήφει τῆς πόλεως ἀποδώσειν, τῶν δὲ λοιπῶν ἀφέξεσθαι, ἢ μὴ ποιοῦντος ταῦτ' ἀπαγγελεῖν ἡμᾶς εὐθέως δεῦρο κτλ. (auch hier zweimal Ptcp.). XXIII, 195: ἐπειδὴ δὲ —, δυοῖν ἀγαθοῖν θάτερον ὑμῖν, ἂν καταψηφίσησθε, συμβήσεται· ἢ γὰρ ἐξαπατῶν παύσεται, νομίσας οὐκέτι λανθάνειν, ἢ εἴπερ αὐτῷ βουλομένῳ πρὸς ὑμᾶς ἐστιν οἰκείως ἔχειν ὡς ἀληθῶς, ἀγαθόν τι ποιεῖν πειράσεται, γνοὺς ὅτι τῷ φενακίζειν οὐκέθ' ἃ βούλεται πράξει. Thuk. IV, 28, 5: ἀσμένοις δ' ὅμως ἐγίγνετο τοῖς σώφροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγαθοῖν τοῦ ἑτέρου τεύξεσθαι, ἢ Κλέωνος ἀπαλλαγήσεσθαι, ὃ μᾶλλον ἤλπιζον, ἢ σφαλεῖσι γνώμης Λακεδαιμονίους σφίσι χειρώσεσθαι (in diesen Beispielen ist nur dem zweiten Gliede eine ὑπόθεσις beigefügt). (D.) prooem. 44: ἂν δ' ἀκούσητε σιωπῇ —, δυοῖν ἀγαθοῖν θάτερον ὑμῖν ὑπάρξει· ἢ γὰρ πεισθήσεσθε, ἄν τι δοκῶμεν λέγειν συμφέρον, ἢ βεβαιότερον περὶ ὧν ἐγνώκατε ἔσεσθε πεπεισμένοι. ἂν γὰρ οἷς τι διαμαρτάνειν οἰόμεθ' ἡμεῖς ὑμᾶς, ταῦτα μηδενὸς ἄξια φανῇ, μετ' ἐλέγχου τὰ δεδογμένα νῦν ὑμεῖς ἔσεσθ' ᾑρημένοι. Hier ist die ὑπόθεσις des zweiten Gliedes in den folgenden Kausalsatz ἂν γὰρ οἷς κτλ. aufgenommen. Dilemmata ohne jede ὑπόθεσις finden sich Soph. El. 1319 ff.: ὡς ἐγὼ μόνη οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς ἔσωσ' ἐμαυτὴν ἢ καλῶς ἀπωλόμην. Thuk. I, 33, 3: ἵνα μὴ — μηδὲ δυοῖν φθάσαι ἁμάρτωσιν, ἢ κακῶσαι ἡμᾶς ἢ σφᾶς αὐτοὺς βεβαιώσασθαι, wo man Poppos und Classens Anm. nachlese. Ähnliches weiter unten. Wegen des Ausdrucks kann man noch vergleichen (D.) LXI, 6: ἡγούμενος δυοῖν τοῖν καλλίστοιν οὐ διαμαρτήσεσθαι κτλ. (= 'in der Hoffnung, zwei sehr gute Zwecke zugleich zu erreichen', also anders wie in den übrigen Beispielen dieser Art). In den meisten der bisher behandelten Stellen beginnt das Dilemma mit γάρ (εἰ μέν γε And.

II, 2 — vgl. Anh. zu § 27 und das Asyndeton Cic. de off. III, 5, 26 —, *καὶ εἰ* Gell. V, 11, 2, *κἂν μέν* D. XXII, 40, *καὶ εἴτε* Plat. Apol. 40[d] — Cic. Tusc. I, 41, 97: quam ob rem sive —, *εἰ μὲν τοίνυν* Dein. I, 50, *ἐὰν μὲν οὖν* Xen. Anab. II, 4, 19, *οὔκουν — εἰ μέν* Plat. Apol. 27[d]). Dieselbe Partikel finden wir in vielen andern Beispielen, die zumeist mit den zuletzt besprochenen verwandt sind. Da Demosthenes diese Form am häufigsten anwendet, so beginnen wir am besten mit diesem. Des Raumes wegen werde ich von nun an nur einen Teil der Stellen ausschreiben. D. XX, 112 f.: (*ἔστι τοίνυν τις πρόχειρος λόγος, ὡς ἄρα καὶ παρ' ἡμῖν ἐπὶ τῶν προγόνων πόλλ' ἀγάθ' εἰργασμένοι τινὲς οὐδενὸς ἠξιοῦντο τοιούτου, ἀλλ' ἀγαπητῶς ἐπιγράμματος ἐν τοῖς Ἑρμαῖς ἔτυχον. ἐγὼ δ' ἡγοῦμαι τοῦτον τὸν λόγον κατὰ πόλλ' ἀσύμφορον εἶναι τῇ πόλει λέγεσθαι, πρὸς δὲ καὶ οὐδὲ δίκαιον.*) *εἰ μὲν γὰρ ἀναξίους εἶναί τις φήσει κἀκείνους τιμᾶσθαι, τίς ἄξιος, εἰπάτω, εἰ μήτε τῶν προτέρων μηδεὶς μήτε τῶν ὑστέρων. εἰ δὲ μηδένα φήσει, συναχθεσθείην ἂν ἔγωγε τῇ πόλει, εἰ μηδεὶς ἐν ἅπαντι τῷ χρόνῳ γέγονεν ἄξιος εὖ παθεῖν. καὶ μὴν εἴ γ' ὁμολογῶν ἐκείνους εἶναι σπουδαίους μὴ τετυχηκότας δείξει μηδενός, τῆς πόλεως ὡς ἀχαρίστου δήπου κατηγορεῖ* (wegen der zum ersten Teile *τίς ἄξιος, εἰπάτω* hinzutretenden Epexegese *εἰ δὲ μηδένα φήσει κτλ.* beginnt das zweite Hauptglied anstatt mit *εἰ δέ* mit *καὶ μὴν εἴ γε*. Ähnliche Erweiterungen im ersten Gliede D. XXVII, 20 f.: *εἰ δ' αὖ* und *εἰ δέ*. Dein. I, 50 f.: *κἄν*, im zweiten Lys. XIII, 76: *ἐὰν δέ*. Isae. II, 27: *εἰ δέ*. Plat. Staat II, 365[e]: *εἰ δ' οὖν*. An allen Stellen aufser D. XXVII, 20 f. und Plat. a. a. O. geht ein Imper. voraus. Dieser Modus findet sich auch sonst zuweilen in der Apodosis; vgl. D. XXIV, 189. Aesch. III, 237. Lyk. 63. Ein schönes Beispiel mit doppeltem Imper. Verg. Aen. II, 675 ff.: si periturus abis, et nos rape in omnia tecum; sin aliquam expertus sumptis spem ponis in armis, hanc primum tutare domum. cui parvus Iulus, cui pater et conjunx quondam tua dicta relinquor?). § 24: *οὕτω τοίνυν τινὲς σφόδρ' ἔχουσιν ἀλογίστως, ὥστ' ἐπιχειροῦσι λέγειν —, ὡς ἄρα δεινόν, εἰ ἐν κοινῷ μὲν μηδ' ὁτιοῦν ὑπάρχει τῇ πόλει, ἰδίᾳ δέ τινες πλουτήσουσιν ἀτελείας ἐπειλημμένοι. ἔστι δὲ ταῦτ' ἀμφότερ' οὐχὶ δίκαιον λέγειν.*) *εἰ μὲν γάρ τις ἔχει πολλὰ μηδὲν ὑμᾶς ἀδικῶν, οὐχὶ δεῖ δήπου τοῦτο βασκαίνειν· εἰ δ' ὑφῃρημένον φήσουσιν ἢ τιν' ἄλλον οὐχ ὃν προσήκει τρόπον, εἰσὶ νόμοι καθ' οὓς προσήκει κολάζειν. ὅτε δὲ τοῦτο μὴ ποιοῦσιν, οὐδὲ τὸν λόγον αὐτοῖς τοῦτον λεκτέον.* XXIV, 188: (*ἀκούω δ' αὐτὸν λέγειν ὡς ἐκτέτισται τὰ χρήματ' Ἀνδροτίωνι καὶ —, καὶ ὅτι δεινότατ' ἂν πάθοι πάντων ἀνθρώπων, εἰ πεποιηκότων ἐκείνων τὰ δίκαια — μηδὲν ἧττον αὐτὸς ἁλίσκοιτο. ἐγὼ δὲ τὸν λόγον ἡγοῦμαι τοῦτον οὐδὲ καθ' ἓν λέγειν ἐνεῖναι τούτῳ.*) *εἰ μὲν γὰρ ὑπὲρ τούτων, οὓς τὰ προσήκοντα φῂς πεποιηκέναι, θεῖναι τὸν νόμον ὁμολογεῖς, κατ' ἐκεῖνο προσήκει σ' ἁλίσκεσθαι φανερῶς, ὅτι μὴ τιθέναι νόμον, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσι τοῖς πολίταις,*

ἄντικρυς οἱ κύριοι νόμοι λέγουσι —. εἰ δὲ τοῦ πᾶσι συμφέροντος ἕνεκα ταῦτα νομοθετῆσαι φήσεις, μὴ λέγε τὴν ἔκτισιν τὴν τούτων· οὐδὲν γὰρ κοινωνεῖ τῷ νόμῳ τῷδε· ἀλλ' ὡς ἐπιτήδειός ἐστι καὶ καλῶς ἔχων ὁ νόμος, τοῦτο δίδασκε. τοῦτο γάρ ἐσθ' ὑπὲρ οὗ σὺ μὲν εἰσενεγκεῖν φῂς κτλ. (die *ἀποστροφή* wie § 122. XVIII, 196. XXII, 62. [D.] XXXII, 16. Hyp. f. Eux. XXVIII. Dein. I, 50. Aesch. III, 236. Noch anders Lys. XIII, 75, wo der Sprecher erst im zweiten Gliede des Dilemma den Gegner anredet: *εἰ μὲν προσποιεῖται — εἰ δ' ἀμφισβητεῖς*). XXVII, 54 f. XIX, 341 f.: (*ὅτι δ' οὐ μόνον κατὰ τἄλλα, ἀλλὰ καὶ τὰ πρὸς αὐτὸν τὸν Φίλιππον πράγματα πανταχῶς συμφέρει τοῦτον ἑαλωκέναι, θεάσασθε.*) *εἴτε γὰρ ἥξει ποτ' εἰς ἀνάγκην τῶν δικαίων τι ποιεῖν τῇ πόλει, τὸν τρόπον μεταθήσεται· — εἴτ' ἐπὶ τῆς αὐτῆς ἧσπερ νῦν ἐξουσίας καὶ ἀσελγείας μενεῖ, τοὺς ὁτιοῦν ἂν ἐκείνῳ ποιήσοντας ἀνῃρηκότες ἐκ τῆς πόλεως ἔσεσθ', ἂν τούτους ἀνέλητε.* XXII, 62: (*κἀκεῖν' οἶδ', ὅτι χρήματ' εἰσπράττειν τοῦτον ἐχειροτονήσαθ' ὑμεῖς, οὐχὶ τὰς ἰδίας συμφορὰς ὀνειδίζειν καὶ προφέρειν ἑκάστῳ.*) *εἴτε γὰρ ἦσαν ἀληθεῖς, οὐ σοὶ ῥητέαι —· εἴτε μὴ προσηκούσας κατεσκεύαζες, πῶς οὐχ ὁτιοῦν ἂν πάθοις δικαίως;* (zu dem Adj. verb. *ῥητέαι* vgl. Is. XIV, 10. Gorg. Hel. 19. Plat. Staat II, 365^{d-e}). XXI, 134: (*εἶτ' εἴ σ' ἐπὶ τούτοις ἔσκωψεν Ἀ. ἢ ἄλλος τις, πάντας ἤλαυνες;*) *εἰ μὲν γὰρ ἐποίεις ταῦθ' ἅ σέ φασιν οἱ συνιππεῖς —, δικαίως κακῶς ἤκουες· — εἰ δὲ μὴ ποιοῦντός σου κατεσκεύαζόν τινες —, οἱ δὲ λοιποὶ — οὐκ ἐκείνοις ἐπετίμων, ἀλλὰ σοὶ ἐπέχαιρον, δῆλον ὅτι ἐκ τῶν ἄλλων ὧν ἔζης ἄξιος αὐτοῖς ἐδόκεις εἶναι τοῦ τοιαῦτ' ἀκούειν.* XVIII, 196. XIX, 42. XXII, 18: (*ἀκούω δ' αὐτὸν τοιοῦτον ἐρεῖν τιν' ἐν ὑμῖν λόγον, ὡς οὐχ ἡ βουλὴ γέγονεν αἰτία τοῦ μὴ πεποιῆσθαι τὰς ναῦς, ἀλλ' ὁ τῶν τριηροποιῶν ταμίας ἀποδρὰς ᾤχετ' ἔχων πένθ' ἡμιτάλαντα —. ἐγὼ δὲ πρῶτον μὲν —. ἔπειτα κἀκεῖν' ἔτι βούλομαι φράσαι πρὸς ὑμᾶς. οὔ φημι δίκαιον εἶναι περὶ ἀμφοῖν λέγειν, ὡς οὐ παρὰ τὸν νόμον ἡ δωρεὰ δέδοται, καὶ ὡς οὐ διὰ τὴν βουλὴν οὐκ εἰσὶν αἱ τριήρεις.*) *εἰ μὲν γὰρ διδόναι καὶ μὴ ποιησαμένῃ προσήκει, τί τοῦτο δεῖ λέγειν, δι' ὅντινα δήποτ' οὐ πεποίηνται; εἰ δ' οὐκ ἔξεστι, τί μᾶλλον, ἂν διὰ τὸν δεῖν' ἢ τὸν δεῖν' ἐπιδείξῃ μὴ πεποιημένας, ἐκείνῃ προσῆκε λαβεῖν;* (der Gegner wird getadelt, weil er zwei einander widersprechende Behauptungen aufstellt. Ähnlich Isae. VI, 58. XI, 24. Xen. Anab. II, 4, 19. — Die Negation (*μή — οὐ*) wechselt ebenso D. XX, 24. XXI, 206. Vgl. de arg. ex contr. S. 365 f., wo hinzuzufügen, dafs *μή* nach *εἰ μέν* auch steht Plat. Staat II, 365^{d}, desgleichen *οὐ* nach *εἰ μέν* Dion. Halic. de Thuc. jud. 14, 5. Aristeid. I, 652 Df., nach *εἰ δέ* Aristeid. I, 653 Df.). I, 18. Vgl. auch XXIII, 133. Neben diesen demosthenischen Beispielen erwähne ich noch Plat. Charm. 158^{d}: (*εἶπε γὰρ ὅτι οὐ ῥᾴδιον εἴη ἐν τῷ παρόντι οὔθ' ὁμολογεῖν οὔτ' ἐξάρνῳ εἶναι τὰ ἐρωτώμενα.*) *ἐὰν μὲν γάρ, ἦ δ' ὅς, μὴ φῶ εἶναι σώφρων, ἅμα μὲν ἄτοπον αὐτὸν καθ' ἑαυτοῦ τοιαῦτα λέγειν, ἅμα δὲ καὶ Κριτίαν τόνδε ψευδῆ ἐπιδείξω καὶ ἄλλους πολλοὺς οἷς δοκῶ εἶναι*

σώφρων· ἐὰν δ' αὖ φῶ καὶ ἐμαυτὸν ἐπαινῶ, ἴσως ἐπαχθὲς φανεῖται, ὥστ' οὐκ ἔχω ὅ τι σοι ἀποκρίνωμαι. Ant. III, *γ*, 8: (*οὐ δίκαιος δὲ ἀποφυγεῖν ἐστι διὰ τὴν ἀτυχίαν τῆς ἁμαρτίας.*) *εἰ μὲν γὰρ ὑπὸ μηδεμιᾶς ἐπιμελείας τοῦ θεοῦ ἡ ἀτυχία γίγνεται, ἁμάρτημα οὖσα τῷ ἁμαρτόντι συμφορὰ δικαία γενέσθαι ἐστίν. εἰ δὲ θεία κηλὶς τῷ δράσαντι προσπίπτει ἀσεβοῦντι, οὐ δίκαιον τὰς θείας προσβολὰς διακωλύειν γίγνεσθαι.* II, *γ*, 2. (Lys.) IX, 12 (vgl. Emper. opusc. 73 f. Stutzer, Hermes XIV, 512 f.). Is. IV, 21 f.: *τοῦτο μὲν γὰρ εἰ* — *τοῦτο δ' εἰ* (diese breite Ausdrucksweise habe ich nirgends weiter gefunden). XIV, 46 f. Isae. I, 37: (*οἶμαι δ' ὑμᾶς τὸ περὶ ἡμῶν δίκαιον σαφέστατ' ἂν παρ' αὐτῶν τούτων πυνθάνεσθαι. εἰ γάρ τις αὐτοὺς ἔροιτο διὰ τί ἀξιοῦσι κληρονόμοι γενέσθαι τῶν Κλ., τοῦτ' ἂν εἰπεῖν ἔχοιεν, ὅτι καὶ γένει ποθὲν προσήκουσι καὶ ἐκεῖνος αὐτοῖς χρόνον τινὰ ἐπιτηδείως διέκειτο. οὐκ ἂν ἄρα ὑπὲρ ἡμῶν μᾶλλον ἢ ὑπὲρ σφῶν αὐτῶν εἶεν εἰρηκότες;*) *εἴτε γὰρ διὰ τὴν τοῦ γένους ἀγχιστείαν δεῖ γενέσθαι τινὰς κληρονόμους, ἡμεῖς ἐγγυτέρω γένει προσήκομεν· εἴτε διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν, ἴσασιν αὐτὸν ἅπαντες ἡμῖν οἰκειότερον διακείμενον* (in dem folgenden Schlufssatze: *ὥστ' οὐ χρὴ παρ' ἡμῶν, ἀλλὰ παρ' αὐτῶν τούτων πυνθάνεσθαι τὸ δίκαιον* kehrt der Redner mittels eines *κύκλος* zu den Anfangsworten des ganzen Gedankenkomplexes zurück). Isae. I, 21. II, 27. Lyk. 63. Hyp. Epit. XII. (D.) XII, 15: (*Πεπαρήθιοι δὲ τὴν νῆσον κατέλαβον. τί οὖν ἐχρῆν με ποιεῖν; οὐ δίκην λαβεῖν παρὰ τῶν ὑπερβεβηκότων τοὺς ὅρκους; οὐ τιμωρήσασθαι τοὺς οὕτως ὑπερηφάνως ἀσελγαίνοντας;*) *καὶ γὰρ εἰ Πεπαρηθίων ἦν ἡ νῆσος, τί προσῆκεν ἀπαιτεῖν Ἀθηναίους; εἰ δ' ὑμετέρα, πῶς οὐκ ἐκείνοις ὀργίζεσθε καταλαβοῦσι τὴν ἀλλοτρίαν;* (*εἰ* für *εἰ μέν* auch Plut. Kleom. 31. Gell. V, 11, 2. D. XIX, 238. *μέν* und *δέ* fehlt in der *διάλληλος δεῖξις* Aesch. III, 188, wo freilich Weidner jetzt *εἰ δ' ἐκεῖνοι* schreibt. Dafs im Latein. neben si — sin und sin autem sehr häufig auch si — si gebraucht wird, ist hinlänglich bekannt; vgl. Seyffert a. a. O. S. 139). (D.) XII, 21. Thuk. VI, 40, 2: (*καὶ τῶν τοιῶνδε ἀγγελιῶν ὡς πρὸς αἰσθομένους καὶ μὴ ἐπιτρέψοντας ἀπαλλάγητε.*) *ἡ γὰρ πόλις ἥδε, καὶ εἰ ἔρχονται Ἀθηναῖοι, ἀμυνεῖται αὐτοὺς ἀξίως αὑτῆς, καὶ στρατηγοί εἰσιν ἡμῖν οἳ σκέψονται αὐτά· καὶ εἰ μή τι αὐτῶν ἀληθές ἐστιν, ὥσπερ οὐκ οἴομαι, οὐ πρὸς τὰς ὑμετέρας ἀγγελίας καταπλαγεῖσα καὶ ἑλομένη ὑμᾶς ἄρχοντας αὐθαίρετον δουλείαν ἐπιβαλεῖται* (über *καὶ εἰ* s. Classen). Plut. Kleom. 31: *ποῖ πλέομεν ἀλογίστως ἀποφεύγοντες ἐγγὺς ὂν κακὸν καὶ μακρὰν διώκοντες; εἰ γὰρ κτλ.* Der Lateiner gebraucht in diesem Falle entweder eine Kausalpartikel oder ein explikatives Asyndeton. Erstere steht Ennianae poes. reliquiae ed. Vahlen S. 108: injuria abs te adficior indigna, pater. nam si inprobum esse Cresphontem olim existimas, cur me huic locabas nuptiis? sin est probus, cur talem invitam invitum cogis linquere? desgl. in der Dichterstelle bei Cornif. ad Herenn. II, 26, 42: qua causa accusem hunc? — nam si veretur, quid eum accuses, qui est

probus? sin inverecundum animi ingenium possidet, quid autem accuses, qui id parvi auditum aestumet? (vgl. die Anm. von Kayser S. 262). Cic. de off. II, 2, 6: (sapientia autem est rerum divinarum et humanarum causarumque, quibus eae res continentur, scientia, cujus studium qui vituperat haud sane intellego quidnam sit quod laudandum putet.) nam sive oblectatio quaeritur animi requiesque curarum, quae conferri cum eorum studiis potest, qui semper aliquid anquirunt, quod spectet et valeat ad bene beateque vivendum? sive ratio constantiae virtutisque ducitur, aut haec ars est aut nulla omnino, per quam eas assequamur. p. Caec. 1, 3 (de adversarii testibus nunc sum animo aequissimo.) si enim sunt viri boni, me adjuvant, cum id jurati dicunt, quod ego injuratus insimulo; sin autem minus idonei, me non laedunt, cum iis sive creditur, creditur hoc ipsum, quod nos arguimus, sive fides non habetur, de adversarii testium fide derogatur (im zweiten Teile ist ein neues Dilemma enthalten). Phil. III, 6, 14. ad fam. VII, 27, 2. Ein explikatives Asyndeton finden wir Cornif. ad Herenn. IV, 40, 52 in den beiden ersten Beispielen. Cic. Brut. 82, 285 u. s. w. Dafs asyndetischer Anschlufs auch im Griechischen nicht ungebräuchlich war, erhellt, abgesehen von der schon angeführten Stelle And. II, 2, aus Lyk. 34: (*τί γὰρ ἔδει προφάσεων ἢ λόγων ἢ σκήψεως; ἁπλοῦν τὸ δίκαιον, ῥᾴδιον τὸ ἀληθές, βραχὺς ὁ ἔλεγχος.*) *εἰ μὲν ὁμολογεῖ τὰ ἐν τῇ εἰσαγγελίᾳ ἀληθῆ καὶ ὅσια εἶναι, τί οὐ τῆς ἐκ τῶν νόμων τιμωρίας τυγχάνει; εἰ δὲ μή φησι ταῦτα ἀληθῆ εἶναι, τί οὐ παραδέδωκε τοὺς οἰκέτας καὶ τὰς θεραπαίνας;* Xen. Anab. V, 8, 18. Aesch. III, 188. Anderer Art ist das Asyndeton Hyp. f. Eux. XXVIII: *τοῦτ' εἰ μὲν ὑπελάμβανες κτλ.*, wo vielleicht das unmittelbar vorausgehende *ὅ* der relativen Anknüpfung im Wege stand, die wir unter ähnlichen Verhältnissen antreffen Is. III, 26: (*εἰ δὲ δεῖ τι καὶ τῶν ἀρχαίων εἰπεῖν, λέγεται καὶ τοὺς θεοὺς ὑπὸ Διὸς βασιλεύεσθαι.*) *περὶ ὧν εἰ μὲν ἀληθὴς ὁ λόγος ἐστί, δῆλον ὅτι κἀκεῖνοι ταύτην τὴν κατάστασιν προκρίνουσιν, εἰ δὲ τὸ μὲν σαφὲς μηδεὶς οἶδεν, αὐτοὶ δ' εἰκάζοντες οὕτω περὶ αὐτῶν ὑπειλήφαμεν, σημεῖον ὅτι πάντες τὴν μοναρχίαν προτιμῶμεν.* Lyk. 76. Gorg. Hel. 19. Vgl. Cic. p. Planc. 5, 13 (Tusc. I, 41, 97. Sall. Cat. 52, 16: quare vanum equidem hoc consilium est, si periculum ex illis metuit; sin in tanto omnium metu solus non timet, eo magis refert me mihi atque vobis timere, wo die chiastische Stellung der Glieder zu beachten ist). Wenn der Gedanke es erforderte, wurden zum Anschlufs an das Vorhergehende auch Konklusivpartikeln, sowie *καίτοι* und *καὶ μὴν* verwendet. So steht *οὐκοῦν εἰ μέν* D. XXIII, 43: *οὐκοῦν εἰ μὲν ἐάσομεν ὑμᾶς τούτων συμβάντων, οὐ καθαροῖς οὖσιν ὁμοῦ διατρίψομεν, εἰ δ' ἐπέξιμεν, οἷς ἐγνώκαμεν αὐτοὶ τἀναντία πράττειν ἀναγκασθησόμεθα.* (*ἆρά γε μικρὸν ἢ τὸ τυχόν ἐστιν, ὑπὲρ οὗ δεῖ λῦσαι τὸ ψήφισμ' ὑμᾶς;*) (D.) LVIII, 12. Aesch. II, 163. Plat. Staat II, 365[d] (s. oben S. 427); *εἰ μὲν οὖν* Lys. XIII, 75.

XXV, 2. (D.) XII, 13. Dion. Hal. de Thuc. jud. 14, 5, εἴτε οὖν Isae. X, 9, ἐὰν μὲν οὖν Lys. XIII, 76. D. XXVII, 20; εἰ μὲν τοίνυν D. XX, 145: (*καίτοι καὶ τοῦτ' ἀκούω σε λέγειν, ὡς ἄρα τρεῖς σέ τινες γραψάμενοι πρότεροι τοῦδε οὐκ ἐπεξῆλθον.*) *εἰ μὲν τοίνυν ἐγκαλῶν αὐτοῖς λέγεις ὅτι σ' οὐ κατέστησαν εἰς κίνδυνον, φιλοκινδυνότατος πάντων ἀνθρώπων εἶ· εἰ δὲ τεκμήριον ποιεῖ τοῦ τὰ δίκαι' εἰρηκέναι, λίαν εὐήθες ποιεῖς. τί γὰρ εἵνεκα τούτου βελτίων ἔσθ' ὁ νόμος, εἴ τις ἢ τετελεύτηκε τῶν γραψαμένων πρὶν εἰσελθεῖν, ἢ πεισθεὶς ὑπὸ σοῦ διεγράψατο, ἢ καὶ ὅλως ὑπὸ σοῦ παρεσκευάσθη*; (vgl. Anh. zu § 55, S. 387). XXIII, 123. XXIX, 47. XIX, 238 (hier *εἰ τοίνυν* ohne *μέν*). Dazu füge die schon citierten Stellen Plat. Apol. 27[d]. — Gorg. Pal. 26. Xen. Anab. II, 4, 19. — Dein. I, 50. Die Partikel *καίτοι* findet sich Lys. XXV, 14: (*οὐ τοίνυν οὐδ' ἐπειδὴ οἱ τριάκοντα κατέστησαν, οὐδείς με ἀποδείξει οὔτε βουλεύσαντα οὔτ' ἀρχὴν οὐδεμίαν ἄρξαντα.*) *καίτοι εἰ μὲν ἐξόν μοι ἄρχειν μὴ ἐβουλόμην, ὑφ' ὑμῶν νυνὶ τιμᾶσθαι δίκαιός εἰμι· εἰ δ' οἱ τότε δυνάμενοι μὴ ἠξίουν μοι μεταδιδόναι τῶν πραγμάτων, πῶς ἂν φανερώτερον ἢ οὕτω ψευδομένους ἀποδείξαιμι τοὺς κατηγόρους*; Isae. XI, 24. Hyp. f. Eux. XXX. D. XXIV, 122 (die Züricher nach Σ *καὶ εἰ μέν*, doch hat diese Hdschr. in *γρ. καίτοι εἰ μέν*). (D.) XXXII, 16. Vgl. auch Isae. VI, 58. Gleiche Bedeutung hat *καὶ μήν* D. XXI, 206; vgl. Aristeid. I, 652 Df. a. E. Mit *καί* beginnt das Dilemma in drei schon oben angeführten Beispielen D. XXII, 40. Plat. Apol. c. 32. Gell. V, 11, 2, aufserdem D. XVIII, 4 und nach der Überlieferung Is. XIX, 32: (*ἀλλ' οὕτως ὠμῶς καὶ σχετλίως εἶχεν, ὥστ' ἐπὶ μὲν τὸ κῆδος οὐκ ἠξίωσεν ἀφικέσθαι, τῶν δὲ καταλειφθέντων οὐδὲ δέχ' ἡμέρας διαλιποῦσ' ἦλθεν ἀμφισβητοῦσα, ὥσπερ τῶν χρημάτων ἀλλ' οὐκ ἐκείνου συγγενὴς οὖσα*). *καὶ εἰ μὲν ὁμολογήσει τοσαύτην ἔχθραν ὑπάρχειν αὐτῇ πρὸς ἐκεῖνον, ὥστ' εἰκότως ταῦτα ποιεῖν, οὐκ ἂν κακῶς εἴη βεβουλευμένος, εἰ τοῖς φίλοις ἠβουλήθη μᾶλλον ἢ ταύτῃ τὴν οὐσίαν καταλιπεῖν· εἰ δὲ μηδεμιᾶς διαφορᾶς οὔσης οὕτως ἀμελὴς καὶ κακὴ περὶ αὐτὸν ἐγένετο, πολὺ ἂν δήπου δικαιότερον στερηθείη τῶν αὐτῆς ἢ τῶν ἐκείνου κληρονόμος γίγνοιτο.* Vergleicht man diese Stelle sowohl mit denen, in welchen *καί*, als auch mit denen, in welchen *καίτοι* (*καὶ μήν*) vorkommt, so wird man leicht erkennen, dafs dieselbe mit jenen gar keine, mit diesen sehr grofse Ähnlichkeit hat. Da nun *καίτοι* und *καί* in den Hdschr. häufig verwechselt werden (vgl. was ich soeben bemerkt habe über D. XXIV, 122, sowie Vömel zu D. XVIII, 14 und Kirchner, quaest. Lysiacarum specimen — Demmin 1869 — S. 5), so trage ich kein Bedenken, auch bei Isokrates eine solche Verwechselung anzunehmen, also *καίτοι εἰ μέν* für *καὶ εἰ μέν* vorzuschlagen. Durch *πρὸς δὲ τούτοις* wird das Dilemma an das Vorausgehende angeschlossen Hyp. Epit. a. E., durch *τούτων δ' οὕτως ἐχόντων* Is. XII, 205, durch das einfache *δέ* Ant. IV, β, 6: *ὁ δὲ ἀποθανών, εἰ μὲν ἀτυχίᾳ τέθνηκε, τῇ ἑαυτοῦ ἀτυχίᾳ κέχρηται* (*ἠτύχησε γὰρ ἄρξας τῆς πληγῆς*), *εἰ δ' ἀβου-*

λίᾳ τινί, τῇ ἑαυτοῦ ἀβουλίᾳ διέφθαρται· οὐ γὰρ εὖ φρονῶν ἔτυπτέ με. — Eine der divisio eigentümliche Ausdrucksweise ist *δυοῖν θάτερον* (*τὸ ἕτερον, θάτερα, τὰ ἕτερα*); vgl. alterum de duobus Cic. Tusc. I, 41, 97. Dafs diese auch für das Dilemma verwendet wurde, zeigen schon von den oben genannten Beispielen Plat. Apol. c. 32. — And. II, 7. D. XXIII, 195. (D.) prooem. 44. Thuk. IV, 28, 5. Zu diesen lassen sich noch manche andere hinzufügen. Ich führe zunächst zwei an, die im Satzbau mit Plat. Apol. c. 32. D. XXIII, 195. (D.) prooem. 44 übereinstimmen, Isae. III, 74: *δῆλον μὲν γὰρ ὅτι ἐπίκληρον καταλιπὼν ἀκριβῶς ἂν ᾔδει ὅτι δυοῖν θάτερον ἔμελλεν ὑπάρχειν αὐτῇ· ἢ γὰρ ἡμῶν τινα τῶν ἐγγύτατα γένους ἐπιδικασάμενον ἕξειν γυναῖκα, ἢ εἰ μηδεὶς ἡμῶν ἐβούλετο λαμβάνειν, τῶν θείων τινὰ τούτων τῶν μαρτυρούντων, εἰ δὲ μή, τῶν ἄλλων τινὰ συγγενῶν τὸν αὐτὸν τρόπον περὶ πάσης τῆς οὐσίας ἐπιδικασάμενον κατὰ τοὺς νόμους ἕξειν ταύτην γυναῖκα* (wegen des *εἰ* nach dem zweiten *ἤ* vgl. D. XXIII, 195. Thuk. IV, 28, 5. D. XXVII, 45. Plat. Apol. 25[e]. Euthyphr. 15[c]. Dein. I, 11. Die Worte *εἰ δὲ μὴ κτλ.* dienen zur Vervollständigung des zweiten Gliedes). Plat. Gesetze IX, 854[d]. Wie And. II, 7 und Thuk. IV, 28, 5 ist das Satzgefüge Hyp. f. Lyk. VII f.: *οἱ μὲν — συσκευάσαντες λοιδορίας ψευδεῖς κατὰ τῶν κρινομένων ἐξιστᾶσιν τῆς ἀπολογίας, ὥστε συμβαίνειν αὐτοῖς δυοῖν τὸ ἕτερον, ἢ περὶ τῶν ἔξωθεν διαβολῶν ἀπολογουμένοις τῆς περὶ τοῦ πράγματος ἀπολογίας ἀπολελεῖφθαι, ἢ εἰ μέμνηνται περὶ τῶν προκατηγορηθέντων, οὕτω δόξαν καταλείπεσθαι παρὰ τοῖς δικασταῖς ὅτι ἀληθῆ ἐστιν τὰ εἰρημένα* (*ἀπολογουμένοις* vertritt die Stelle eines hypothetischen Satzes; zum Gedanken vgl. f. Eux. XLI. D. XXVII, 53). D. XXVII, 45: *ἵνα δυοῖν θάτερον διαπράξαιτο, ἢ — βελτίους αὐτοὺς εἶναι — προτρέψειεν, ἢ εἰ κακοὶ γίγνοιντο, μηδεμιᾶς συγγνώμης — τυγχάνοιεν.* (D.) LI, 16: *δυοῖν θάτερον ἐξελέγχουσιν αὐτούς, ἢ τότ' ἐκείνους ἀδίκως συκοφαντοῦντες, ἢ νῦν τοῖσδ' ἐπὶ μισθῷ συνηγοροῦντες.* Is. XIV, 34: *δυοῖν θάτερον ἀναγκαῖόν ἐστιν αὐτοῖς, ἢ μένοντας ἀποθνήσκειν — ἢ φεύγοντας ἀπορεῖν κτλ.* (beachte das doppelte Ptcp.). VII, 33 (*πάθοιεν* hier doch wohl beizubehalten). Hierzu kommt eine dritte abgekürzte Form: D. XVIII, 139: *καίτοι δυοῖν αὐτὸν ἀνάγκη θάτερον, ἢ μηδὲν τοῖς πραττομένοις ὑπ' ἐμοῦ τότ' ἔχοντ' ἐγκαλεῖν μὴ γράφειν παρὰ ταῦθ' ἕτερα, ἢ τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα μὴ φέρειν εἰς μέσον τὰ τούτων ἀμείνω* (die Ptcpia hier kausal). (D.) XLIX, 41. Is. VI, 89. XV, 197. Vgl. auch D. XIX, 176: *εἶτα τῶν ἄλλων πρέσβεων ἕκαστον καλῶ, καὶ δυοῖν θάτερον, ἢ μαρτυρεῖν ἢ ἐξόμνυσθαι ἀναγκάσω. ἂν δ' ἐξομνύωσιν, ἐπιορκοῦντας ἐξελέγξω φανερῶς.* Dieselbe Wendung ohne *δυοῖν θάτερον* (D.) LVIII, 7: *ἀλλ' ὅμως ἐὰν ὑμεῖς — ἀναγκάζοντος ἐμοῦ συναναγκάζητε ἤτοι μαρτυρεῖν ἢ ἐξομνύεσθαι — εὑρεθήσεται τἀληθές.* XLV, 60. Ebenso steht im Dilemma einfach *ἤ — ἤ* Herod. I, 11: *νῦν τοι δυῶν ὁδῶν παρεουσέων δίδωμι αἵρεσιν, ὁκοτέρην βούλεαι*

τραπέσθαι. ἢ γὰρ Κανδαύλεα ἀποκτείνας ἐμέ τε καὶ τὴν βασιληίην ἔχε τὴν Λυδῶν, ἢ αὐτόν σε αὐτίκα οὕτω ἀποθνήσκειν δεῖ —. ἀλλ' ἤτοι κεῖνόν γε τὸν ταῦτα βουλεύσαντα δεῖ ἀπόλλυσθαι ἢ σὲ τὸν ἐμὲ γυμνὴν θεησάμενον. ebenda 12. Thuk. VI, 36, 1. D. XX, 102. Aesch. III, 91: *οὐδὲν γὰρ ἦν τὸ μέσον, εἰ —, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἐκ Χαλκίδος ἢ τεθνάναι ἐγκαταληφθέντι.* Plat. Apol. 25[e]: *ἀλλ' ἢ οὐ διαφθείρω ἤ, εἰ διαφθείρω, ἄκων.* (D.) XIII, 36. Soph. Aj. 479. El. 1320. D. VIII, 4: *οὐδενὸς ἧττον τεθαύμακα ὃ καὶ πρῴην τινὸς ἤκουσ' εἰπόντος ἐν τῇ βουλῇ, ὡς ἄρα δεῖ τὸν συμβουλεύοντ' ἢ πολεμεῖν ἁπλῶς ἢ τὴν εἰρήνην ἄγειν συμβουλεύειν.* Dieses Dilemma wird von Demosthenes als *ἔμμεσον* bekämpft. Die hypothetische Doppelperiode, in der dies geschieht, schliefst mit den Worten: *τί τοῦτο λέγουσιν, ὡς πολεμεῖν ἢ ἄγειν εἰρήνην δεῖ;* worauf es weiter heifst: *οὐ γὰρ αἵρεσίς ἐστιν ἡμῖν τοῦ πράγματος, ἀλλ' ὑπολείπεται τὸ δικαιότατον — τῶν ἔργων, ὃ ὑπερβαίνουσιν ἑκόντες οὗτοι. τί οὖν ἐστι τοῦτο; ἀμύνεσθαι τὸν πρότερον πολεμοῦνθ' ἡμῖν.* — Ebenso häufig wie im Dilemma gebrauchte man *δυοῖν θάτερον* im argumentum ex remotione und in anderen verwandten Beweisfiguren, und zwar finden wir die zweite der genannten drei Formen Aesch. III, 208: *τῷ πολλάκις μὲν ἐπιορκοῦντι, ἀεὶ δὲ μεθ' ὅρκων ἀξιοῦντι πιστεύεσθαι δυοῖν θάτερον ὑπάρξαι δεῖ, ὧν οὐδέτερόν ἐστι Α. ὑπάρχον, ἢ τοὺς θεοὺς καινοὺς ἢ τοὺς ἀκροατὰς μὴ τοὺς αὐτούς* (wegen des Zusatzes *ὧν οὐδέτερον — ὑπάρχον*, den Cobet n. l. 103 für ein frigidum vel pueris emblema erklärt, vgl. D. XIX, 203. LVII, 34. [D.] LVI, 2 f. Plat. Krit. 52[a]). Lys. XII, 34: *δεῖ γὰρ Ἐ. δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτόν, ἢ ὡς δικαίως τοῦτ' ἔπραξεν. οὗτος δ' ὡμολόγηκεν ἀδίκως συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκεν* (ähnlich die schon in der Anm. citierte Stelle D. XIX, 203, desgl. Lys. XIII, 84; vgl. auch [D.] LVI, 27. XL, 60. Lys. XXIX, 5. D. LVII, 34). (D.) LVI, 27: *δεῖξον οὖν δυοῖν θάτερον, ἢ τὴν συγγραφὴν ὡς οὐκ ἔστιν ἡμῖν κυρία, ἢ ὡς οὐ δίκαιος εἶ πάντα κατὰ ταύτην πράττειν.* Isae. III, 58: *οὐκοῦν δυοῖν τὰ ἕτερα προσῆκε τῇ γυναικί, ἢ — ἤ.* Plat. Krit. 52[a]: *ἐφιέντων (ἡμῶν) δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ.* Für die abgekürzte Form führe ich an Dein. I, 10 f.: *δυοῖν γὰρ θάτερον ἐχρῆν αὐτούς, ἢ καὶ τὴν προτέραν ζήτησιν — ζητεῖν —· ἢ εἰ ταῦθ' ὑμεῖς ἐβούλεσθε Α. συγχωρεῖν, τὴν περὶ τῶν νῦν ἀποπεφασμένων ζήτησιν χρημάτων μὴ προσδέχεσθαι.* D. XIX, 102 ff. (D.) LVI, 2. Is. V, 86. Vgl. Lys. XXIX, 5: *ἡγοῦμαι δὲ Φιλοκράτει δύο εἶναι καὶ μόνας ἀπολογίας· προσήκειν γὰρ αὐτῷ ἀποδεῖξαι ἢ ἑτέρους ἔχοντας τὰ Ἐ. χρήματα, ἢ ἀδίκως ἀπολωλότα ἐκεῖνον κτλ.* (das Beispiel ist mit den früher erwähnten verwandt, in denen auf *δυοῖν θάτερον* ein Satz mit *ἢ γάρ* folgt). XIII, 84. D. XIX, 203: *οὐ μὴν ἀλλ' ἔγωγ' οἶμαί μοι προσήκειν ἀμφότερ' ὑμῖν ἐπιδεῖξαι, καὶ —, καὶ τὴν δικαίαν ἥτις ἐστὶν ἀπολογίαν. ἡ μὲν τοίνυν δικαία καὶ ἁπλῆ, ἢ ὡς οὐ πέπρακται τὰ κατηγορημένα δεῖξαι, ἢ ὡς πεπραγμένα συμφέρει τῇ*

πόλει. τούτων δ' οὐδέτερον δύναιτ' ἂν οὗτος ποιῆσαι. οὔτε γὰρ κτλ. LVII, 34. And. III, 13. Die bisher genannten Stellen haben das gemeinsam, daſs *τοῖν δυοῖν οὐδέτερον* stattfindet. Dagegen geschieht beides Isae. I, 38: *πάντων δ' ἂν εἴη δεινότατον, εἰ τοῖς μὲν ἄλλοις ψηφίζοισθε, ὅταν θάτερα τούτων ἀποφαίνωσι σφᾶς αὐτούς, ἢ γένει προτέρους ὄντας ἢ τῇ φιλίᾳ τῇ πρὸς τὸν τετελευτηκότα, ἡμᾶς δ' οἷς ἐστιν ἀμφότερα ταῦτα παρὰ πάντων ὁμολογούμενα, ἀξιώσετε μόνους ἀκλήρους ποιῆσαι τῶν ἐκείνου* (de arg. ex contr. 197 und 383). In solchen Fällen kann natürlich von einem arg. ex remotione nicht die Rede sein. Wohl aber liegt dasselbe da vor, wo geschlossen wird: 'Es kann nur A oder B stattfinden (es ist nur A oder B denkbar); nun aber findet A nicht statt (darf A nicht stattfinden); demnach muſs B stattfinden'. Cicero nennt, wie wir S. 426 sahen, dieses Schema disjunctio. Hierher gehören Plat. Phaed. 76[a]: *ὥστε δυοῖν τὰ ἕτερα, ἤτοι ἐπιστάμενοί γε αὐτὰ γεγόναμεν — ἢ ὕστερον, οὕς φαμεν μανθάνειν, οὐδὲν ἄλλ' ἢ ἀναμιμνήσκονται οὗτοι, καὶ ἡ μάθησις ἀνάμνησις ἂν εἴη.* (Lys.) VI, 8: *εὖ γὰρ ἐπίστασθε ὅτι οὐχ οἷόν τε ὑμῖν ἐστιν ἅμα τοῖς τε νόμοις τοῖς πατρίοις καὶ Ἀνδοκίδῃ χρῆσθαι, ἀλλὰ δυοῖν θάτερον, ἢ τοὺς νόμους ἐξαλειπτέον ἐστὶν ἢ ἀπαλλακτέον τοῦ ἀνδρός* (vgl. Aesch. I, 119: *ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις Δ. ἢ τοὺς νόμους φησὶν ἐξαλείφειν δεῖν, ἢ τοῖς ἐμοῖς λόγοις οὐκ εἶναι προσεκτέον.* D. XVIII, 152: *καὶ προφάσεις εὐλόγους εἰλήφεσαν· ἢ γὰρ αὐτοὺς εἰσφέρειν καὶ ξένους τρέφειν ἔφασαν δεῖν καὶ — ἢ κεῖνον αἱρεῖσθαι.* [D.] X, 76. Aristeid. R. LI a. E. Hyp. f. Lyk. XII: *μοιχεύειν δ' οὐκ ἐνδέχεται ἀπὸ πεντήκοντα ἐτῶν ἀρξάμενον, ἀλλ' ἢ πάλαι μοι πρόσεστιν, ὃ δειξάτωσαν οὗτοι, ἢ ψευδῆ τὴν αἰτίαν εἰκὸς εἶναι.* D. XXII, 29: *ἀλλ' ἢ δεῖξον οὐ πεποιηκότα ταῦτα σεαυτόν, ἢ δίκην ὕπεχε ὧν γέγραφάς τι τοιοῦτος ὤν· οὐ γὰρ ἔξεστί σοι.* Thuk. III, 45, 4. Is. V, 133). Plat. Phaed. 66[e]: *εἰ γὰρ μὴ οἷόν τε μετὰ τοῦ σώματος μηδὲν καθαρῶς γνῶναι, δυοῖν θάτερον, ἢ οὐδαμοῦ ἔστιν κτήσασθαι τὸ εἰδέναι ἢ τελευτήσασιν* (Lys. I, 18: *σοὶ οὖν ἔξεστι δυοῖν ὁπότερον βούλει ἑλέσθαι, ἢ μαστιγωθεῖσαν εἰς μυλῶνα ἐμπεσεῖν — ἢ κατειποῦσαν ἅπαντα τἀληθῆ μηδὲν παθεῖν κακόν.* — *βούλεσθαι* stehend bei einer *αἵρεσις*; vgl. Is. XV, 94. [D.] LVIII, 12. Herod. I, 11. D. XVIII, 213. Schmidt, Synonym. III, S. 608). In diesen Beispielen vertritt das erste Glied die Protasis eines Kondizionalsatzes. Dieselbe Ausdrucksweise mit umgekehrter Stellung der Glieder D. IX, 11: *Ὀλυνθίοις τετταράκοντ' ἀπέχων στάδι' εἶπεν ὅτι δεῖ δυοῖν θάτερον, ἢ κείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν ἢ αὐτὸν ἐν Μακεδονίᾳ.* Dionys. Hal. Antt. V, 10 a. E.: *εὖ δ' ἴστε, ὅτι, δυοῖν θάτερον, ἢ Κολλατῖνον ἕξοντες ὕπατον ἢ Βροῦτον* (vgl. D. XV, 23: *εἰ γάρ τί που κεκράτηκε τῆς πόλεως βασιλεύς, ἢ τοὺς πονηροτάτους τῶν Ἑλλήνων καὶ προδότας αὐτῶν χρήμασι πείσας ἢ οὐδαμῶς ἄλλως κεκράτηκεν.* Einfaches *ἤ* D. XX, 83: *ὑπὲρ ὧν ᾤετο δεῖν ἀποθνήσκειν ἢ νικᾶν,* wo Westermann. XVI, 13. Xen. Hier. 4, 11). Bekanntlich wird

im Latein. aut — aut ganz ähnlich gebraucht. Vgl. z. B. Cornif. ad Herenn. IV, 23, 33: ergo, si —, aut isti domi nascitur aurum aut, unde licitum non est, pecunias cepit. Cic. de nat. deor. II, 33, 85: aut igitur nihil est, quod sentiente natura regatur, aut mundum regi confitendum est. de offic. II, 2, 6 (s. S. 438). de finn. II, 19, 62: aut hoc testium satis est aut nescio quid satis sit. Tusc. I, 7, 14. Mehr bei Seyffert, schol. Lat. I, 137 f. Wichert, die Lat. Stillehre S. 89 ff. Weiſsenborn und Müller zu Liv. praef. 11. Ein dem *δυοῖν θάτερον* entsprechendes nihil medium geht voraus Liv. VII, 39, 14: somno gravem Quinctium oppressum, nihil medium, aut imperium atque honorem aut, ubi restitaret, mortem, ni sequeretur, denuntiantes, in castra pertraxerunt (Gronov: aut — honorem, si sequeretur, aut, u. r., mortem denuntiantes). Ich schlieſse mit drei Stellen, deren jede etwas Eigentümliches enthält, Plat. Charm. 160[c]: *δυοῖν γὰρ δὴ τὰ ἕτερα, ἢ οὐδαμοῦ ἡμῖν ἢ πάνυ που ὀλιγαχοῦ αἱ ἡσύχιοι πράξεις ἐν τῷ βίῳ καλλίους ἐφάνησαν ἢ αἱ ταχεῖαί τε καὶ ἰσχυραί* (hier ist *δυοῖν τὰ ἕτερα, ἤ — ἤ* = wo nicht — so doch). Isae. I, 22: (*φάσκοντες καλεῖν τὴν ἀρχὴν Κλεώνυμον, ἵνα βεβαιώσῃ τὴν αὐτῶν δωρεάν, προσταχθὲν αὐτοῖς οὐκ ἐτόλμησαν εἰσαγαγεῖν, ἀλλὰ καὶ τὸν ἐλθόντα — ἀπέπεμψαν.*) *καὶ δυοῖν τοῖν ἐναντιωτάτοιν θάτερα μέλλοντες, ἢ τὴν οὐσίαν ἕξειν βεβαιοτέραν ἢ ἐκείνῳ μὴ ποιήσαντες ἀπεχθήσεσθαι, τὴν ἀπέχθειαν εἵλοντο μᾶλλον ταύτης τῆς δωρεᾶς. καίτοι πῶς ἂν ἕτερα τούτων γένοιτο ἀπιστότερα;* (vgl. § 18). Dein. II, 22: *δωροδοκία γὰρ καὶ προδοσία κρινομένη παρ' ὑμῖν δυοῖν θάτερον ἐκ τοῦ λοιποῦ χρόνου ποιήσει τοὺς ἄλλους, ἢ χρήματα λαμβάνειν καθ' ὑμῶν θαρροῦντας ὡς οὐ δώσοντας δίκην, ἢ φοβεῖσθαι τὸ λαμβάνειν ὡς τῆς τιμωρίας τοῖς ληφθεῖσιν ἀξίας γενησομένης τῶν ἀδικημάτων.* Im allgemeinen vgl. Schömann zu Isae. 191 f. Weber zu Dem. Aristocr. 500. Schneider zu Is. VII, 33. Rehdantz Dem. Ind. II, Accus. 4. Mit Stellen wie D. IX, 11 (*δεῖ δυοῖν θάτερον, ἤ*). Is. VI, 89 (*τοὺς — βεβιωκότας δυοῖν δεῖ θάτερον, ἤ*). Dein. I, 10 (*δυοῖν θάτερον ἐχρῆν αὐτούς, ἤ*) sind zusammenzuhalten D. VIII, 43: *πρῶτον μὲν δὴ τοῦτο δεῖ, ἐχθρὸν ὑπειληφέναι — ἐκεῖνον.* Plat. Theaet. 184[b]. Gorg. 491[d]. Eur. Herc. fur. 311: *ὃ χρὴ γὰρ οὐδεὶς μὴ χρεὼν θήσει ποτέ.* Arist. Ekkl. 297: *ὁπόσ' ἂν δέῃ τὰς ἡμετέρας φίλας.* Frö. 1368: *ἴτε δεῦρό νυν, εἴπερ γε δεῖ καὶ τοῦτό με, ἀνδρῶν ποιητῶν τυροπωλῆσαι τέχνην.* Vgl. Kühner II, S. 255.

§ 77. *παρασκευάζεσθαι*] Vgl. Anh. zu § 55, S. 381. — *ἐπὶ Φυλήν τε*] Vgl. noch Plat. Lach. 187[b]: *ἐν τοῖς υἱέσι τε καὶ ἐν τοῖς τῶν φίλων παισίν.* Thuk. I, 141, 4: *ἀπὸ τῶν ἰδίων τε ἅμα ἀπόντες καὶ ἀπὸ τῶν αὐτῶν δαπανῶντες.* IV, 12, 3: *ἐκ νεῶν τε καὶ ἐς τὴν ἑαυτῶν — ἀποβαίνειν.* III, 109, 2: *τοὺς Ἀμπρακιώτας τε καὶ τὸν μισθοφόρον ὄχλον.* IV, 96, 7: *πρὸς τὸ Δήλιόν τε καὶ τὴν θάλασσαν.* Plat. Phaed. 58[c]: *μεταξὺ τῆς δίκης τε καὶ τοῦ θανάτου.* Euthyphr. 9[c]. Br. VII, 325[a]: *μετέπεσε τὰ τῶν τριάκοντά τε*

